ΕΡΜΗΣ

*Οὐδὲν τοιοῦτον, οὐδὲ ἐς ἀεὶ τοῦτο ἔσται· δεῖται δέ τι νῦν αὐτὸς ἐπιμηκεστέραν γενέσθαι οἱ τὴν νύκτα.*

ΗΛΙΟΣ

*Ποῦ δέ ἐστιν ἢ πόθεν ἐξεπέμφθης ταῦτα διαγγελῶν μοι;*

ΕΡΜΗΣ

*Ἐκ Βοιωτίας, ὦ Ἥλιε, παρὰ τῆς Ἀμφιτρύωνος, ᾗ σύνεστιν ἐρῶν αὐτῆς.*

ΗΛΙΟΣ

*Εἶτα οὐχ ἱκανὴ νὺξ μία;*

ΕΡΜΗΣ

*Οὐδαμῶς· τεχθῆναι γάρ τινα δεῖ ἐκ τῆς ὁμιλίας ταύτης μέγαν καὶ πολύμοχθον· τοῦτον οὖν ἐν μιᾷ νυκτὶ ἀποτελεσθῆναι ἀδύνατον.*

ΗΛΙΟΣ

**2** *Ἀλλὰ τελεσιουργείτω μὲν ἀγαθῇ τύχῃ. ταῦτα δ' οὖν, ὦ Ἑρμῆ, οὐκ ἐγίνετο ἐπὶ τοῦ Κρόνου—αὐτοὶ γὰρ ἡμεῖς ἐσμεν—οὐδὲ ἀπόκοιτός ποτε ἐκεῖνος παρὰ τῆς Ῥέας ἦν οὐδὲ ἀπολιπὼν ἂν τὸν οὐρανὸν ἐν Θήβαις ἐκοιμᾶτο, ἀλλὰ ἡμέρα μὲν ἦν ἡ ἡμέρα, νὺξ δὲ κατὰ μέτρον τὸ αὐτῆς ἀνάλογον ταῖς ὥραις, ξένον δὲ ἢ παρηλλαγμένον οὐδέν, οὐδ' ἂν ἐκοινώνησέ ποτε ἐκεῖνος θνητῇ γυναικί· νῦν δὲ δυστήνου γυναίου ἕνεκα χρὴ ἀνεστράφθαι τὰ πάντα καὶ ἀκαμπεστέρους μὲν γενέσθαι τοὺς ἵππους ὑπὸ τῆς ἀργίας, δύσπορον δὲ τὴν ὁδὸν ἀτριβῆ μένουσαν τριῶν ἑξῆς ἡμερῶν, τοὺς δὲ ἀνθρώπους ἀθλίους ἐν σκοτεινῷ διαβιοῦν.*

1 τοιοῦτο Γ  τι νῦν β: νῦν ἔτι γ  2 τὴν νύκτα γενέσθαι (om. οἱ) γ  3 Ποῦ δέ ἐστιν γ: Οὗ δὲ καὶ ἔστιν β  διαγγελῶν Γ: διαγγέλλων Ω: ἀγγέλων sic B: ἀγγείλλων LN: ἀγγελῶν recc.  4 τῆς Ἀμφ. γυναικός β  8 πολύμοχθον γ: πολύαθλον θεόν β  11 αὐτοὶ β: μόνοι γ; cf. Ar. *Ach.* 504, *Th.* 472, Pl. *Prm.* 137b, Luc. 21.21 etc.  ἡμεῖς del. Cobet  12 cf. Men. *Epit.* 136 S etc.  12 seq. cf. tamen Pind. *Nem.* 3.47, Ap. Rh. 2.1235 seq.  13 μὲν om. Ω, ss. $\Omega^b$  ἢ om. β  14 ἀναλόγως γ  15 ποτε ἐκεῖνος om. γ  19 ἀθλίως β





*τοιαῦτα ἀπολαύσονται τῶν Διὸς ἐρώτων καὶ καθεδοῦνται περιμένοντες, ἔστ' ἂν ἐκεῖνος ἀποτελέσῃ τὸν ἀθλητήν, ὃν λέγεις, ὑπὸ μακρῷ τῷ ζόφῳ.*

ΕΡΜΗΣ

*Σιώπα, ὦ Ἥλιε, μή τι κακὸν ἀπολαύσῃς τῶν λόγων. ἐγὼ δὲ παρὰ τὴν Σελήνην ἀπελθὼν καὶ τὸν Ὕπνον ἀπαγγελῶ κἀκείνοις ἅπερ ὁ Ζεὺς ἐπέστειλε, τὴν μὲν σχολῇ προβαίνειν, τὸν δὲ Ὕπνον μὴ ἀνεῖναι τοὺς ἀνθρώπους, ὡς ἀγνοήσωσι μακρὰν οὕτω τὴν νύκτα γεγενημένην.*

## 15 (13)

## ΔΙΟΣ ΚΑΙ ΑΣΚΛΗΠΙΟΥ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ

ΖΕΥΣ

*Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς* **1**
*ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν.*

ΗΡΑΚΛΗΣ

*Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου;*

ΑΣΚΛΗΠΙΟΣ

*Νὴ Δία· καὶ γὰρ ἀμείνων εἰμί.*

ΗΡΑΚΛΗΣ

*Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ ὅτι σε ὁ Ζεὺς ἐκεραύνωσεν ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;*

1 τοιούτων β  2 ἀποτελέσοι Ω  5–6 ἀπαγγελῶ . . . Ὕπνον β: κελεύσω (cet. om.) γ  7 ἀνιέναι β  **15.** Titulus sic Γ, et, om. ΚΑΙ[1], Ω: ΖΕΥΣ· ΗΡΑΚΛΗΣ· ΑΣΚΛΗΠΙΟΣ B  9 cf. 52.6  Ἥρακλες β  12 θέλεις γ  τοῦτον γ  14 καὶ ἀμείνων γὰρ β  15 ὦ om. ΓL  ὅτι γ: διότι β  15–16 cf. Pind. *Nem.* 3.54, D.S. 4.71.1–3, Apollodor. 3.10.3–4

ΑΣΚΛΗΠΙΟΣ

Ἐπιλέλησαι γὰρ καὶ σύ, Ἡράκλεις, ἐν τῇ Οἴτῃ καταφλεγείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ;

ΗΡΑΚΛΗΣ

Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος, σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθέσει τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος.

ΑΣΚΛΗΠΙΟΣ

2 Οὐ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρώην ἀνῆλθες ἡμίφλεκτος ὑπ' ἀμφοῖν διεφθορὼς τὸ σῶμα, καὶ τοῦ χιτῶνος καὶ μετὰ τοῦτο τοῦ πυρός; ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ πορφυρίδα ἐνδεδυκὼς καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ἀλλὰ οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα.

ΗΡΑΚΛΗΣ

Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιῶνα ἰάσασθαί σε τὸ κρανίον συντριβέντα.

1 ὦ Ἥρακλες β    cf. Soph. *Tr.* 1191 seq., Luc. 55.21, 70.7 etc.    5–6 ὑβριστὰς χρήσιμος, cet. om., $\Omega^1$, add. $\Omega^2$    6 νοσοῦσι μὲν β: ἐν ἀθλίοις δὲ ΓL$\Omega^2$    ἐπιθέσει τῶν γ: ἐπιθήσειν τῶν β: εἰς ἐπιθέσιν Cobet    8–10 Οὐ . . . ; γ: Εὖ . . . . β: an Οὐ . . . .?    9 διεφθαρμένος τῷ σώματι β    10 ὑπὸ ante τοῦ iterat γ    μηδέν, ἀλλ' οὐκ γ    11 οὐδὲ γ    πορφυρίδα ἐνδεδυκὼς β: ἐνδεδοικὼς ποδήρη ἢ πορφυρίδα γ    12 τῆς β: τῷ τῆς γ; cf. 59.10, Plut. *Mor.* 785e    13 cf. Eur. *H.F.* passim    14 μοι om. γ    ὡς β: ὅτι γ    15 cf. *Il.* 1.591 etc.    16 ὥστε β: ὡς γ    cf. *Od.* 9.525, Luc. 39.6    Παιήονα γ    an ἰάσεσθαί?





ΖΕΥΣ

Παύσασθε, φημί, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν εὐωχίαν, ἢ ἀμφοτέρους ὑμᾶς ἀποπέμψομαι τοῦ συμποσίου. καίτοι εὔγνωμον, ὦ Ἡράκλεις, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν ἅτε καὶ πρότερον ἀποθανόντα.

## **16** (14)

## ΕΡΜΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ

ΕΡΜΗΣ

Τί κατηφὴς εἶ, ὦ Ἄπολλον; **1**

ΑΠΟΛΛΩΝ

Ὅτι δυστυχῶ, ὦ Ἑρμῆ, ἐν τοῖς ἐρωτικοῖς.

ΕΡΜΗΣ

Ἄξιον μὲν λύπης τὸ τοιοῦτον· σὺ δὲ τί δυστυχεῖς; ἢ τὸ κατὰ τὴν Δάφνην σε λυπεῖ ἔτι;

ΑΠΟΛΛΩΝ

Οὐδαμῶς· ἀλλὰ ἐρώμενον πενθῶ τὸν Λάκωνα τὸν Οἰβάλου.

ΕΡΜΗΣ

Τέθνηκεν γάρ, εἰπέ μοι, ὁ Ὑάκινθος;

ΑΠΟΛΛΩΝ

Καὶ μάλα.

1 μὴ om. Ω, ss. $\Omega^b$    εὐωχίαν γ: ξυνουσίαν β    2 ἀποπέμψομαι ὑμᾶς β    3 ὦ Ἥρακλες β    **16.** Titulus *ΕΡΜΗΣ ΑΠΟΛΛΩΝ* B    De re cf. Ov. *Met.* 10.162 seq., Paus. 3.1.3, Philostr. *Im.* 1.24 etc.    5 κατηφὴς εἶ γ: σκυθρωπός β    6 , ὦ Ἑρμῆ, δυστυχῶ β    7 τοιοῦτο β    τί om. L    τὸ om. Ω    9 Οἰβάλου recc.: Οἰβάδου β: Οἰβάλου ἐκεῖνον γ; cf. Philostr. Jun. *Im.* 14, Ov. *Met.* 10.196; quod si patrem nominat, noster errat, cf. Apollodor. 3.10.3, Paus. 3.1.3 etc.